# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ
ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

## ΘΑΛΛΕΛΑΙΟΥ

Τοῦ ἰαματικοῦ καὶ ἀναργύρου.

Ποιηθεῖσα παρὰ τοῦ Ὁσιολογιωτάτου Κ. Κυρίου Νικοδήμου τοῦ Ναξίου, τῷ αψηβ ἔτει.
Τανῦν πρῶτον Τύποις ἐκδοθεῖσα, ἀδείᾳ μὲν τῆς
ΙΕΡΑΣ
ΣΥΝΟΔΟΥ τοῦ Βασιλείου τῆς ΕΛΛΑΔΟΣ·
Φιλοτίμῳ δὲ δαπάνῃ Δημ. Διακοπούλου Δημοδιδασκάλου
Κυθηρίου, καί τινων συνδρομιτῶν·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

ΕΝ ΜΕΣΟΛΟΓΓΙΩ
ΤΥΠΟΙΣ Γ. ΓΟΥΡΓΟΥΡΙΝΗ

1878

» Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί,
» ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ
» παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις.

Σοφὸς Σολομών.

Πρὸς

τὴν Ἱερὰν Σύνοδον τοῦ *Βασιλείου* τῆς Ἑλλάδος.

Μεταξὺ τῶν νηπτικῶν καὶ ψυχοφελῶν συγγραμμάτων, ὅσα ὁ ἐν μοναχοῖς διδάσκαλος Νικόδημος Ἁγιορείτης ὁ ἐκ τῆς νήσου Νάξου ἐφιλοπονήσατο, ἀνεπλήρωσε καὶ τελείαν ἀπειργάσατο καὶ τὴν ἱερὰν ἀκολουθίαν τοῦ ἁγίου Μεγαλομάρτυρος καὶ ἰαματικοῦ Θαλλελαίου, ἥτις καθιερωθεῖσα ψάλλεται ἀπὸ τοῦ τέλους τοῦ παρελθόντος αἰῶνος εἰς τὸν ἐν Νάξῳ ἱερὸν ναόν, τὸν τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου πανηγυριζομένου κατ' ἔτος μεγαλοπρεπῶς.

Ἐπειδὴ δὲ ἀπὸ πολλῶν ἤδη ἐτῶν οἱ εὐσεβεῖς κάτοικοι διαφόρων γειτνιαζουσῶν τῇ Νάξῳ κωμοπόλεων καὶ χωρίων, ἤρξαντο πανηγυρίζειν τὴν μνήμην τοῦ ἁγίου, καὶ ψάλλειν ἐν τοῖς ἱεροῖς ναοῖς τὴν προμνησθεῖσαν χειρόγραφον ἀκολουθίαν ἐνόμισα λυσιτελὲς ἵνα ἐκδώσω ταύτην διὰ τοῦ τύπου.

Πρὶν δὲ ἢ προβῶ εἰς τὴν τύπωσιν τοῦ εἰρημένου χειρογράφου, ὑποβάλλω ἀκριβὲς ἀντίγραφον αὐτοῦ εὐσεβάστως ὑπ' ὄψιν τῆς Ἱερᾶς Συνόδου, καὶ καθικετεύω αὐτὴν θερμῶς ὅπως εὐαρεστουμένη ἐπιτρέψῃ μοι τὴν ἀνήκουσαν ἄδειαν.

Ἐν Μεσολογγίῳ τῇ

Εὐπειθέστατος.

Δημήτριος Διακόπουλος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΩ

Πανιερωτάτῳ καί σεβασμιωτάτῳ
Μητροπολίτῃ Ἀθηνῶν,
καὶ Προέδρῳ τῆς ἱερᾶς Συνόδου
τῆς ἐκκλησίας τῆς Ἑλλάδος
καὶ τοῖς συγκαθέδροις αὐτοῦ
τὴν
Ἱερὰν ταύτην βίβλον Πανευλαβῶς
ἀνατίθημι.

Δ. Διακόπουλος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πρός, ΥΜΑΣ Σεβασμιώτατοι Ἱεράρχαι, τοὺς στηρίζοντας τὴν ὀρθόδοξον ἡμῶν θρησκείαν τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου τοῦ Ὑψίστου καὶ ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας, Προσφέρω τὴν Πρώτην ἤδη ἔκδωσιν τῆς παρούσης ᾀσματικῆς ἀκολουθίας.

Δέξασθε, Σεβασμιώτατοι Ἱεράρχαι ταύτην Ἱεραρχικῶς, ἐπιδαψιλεύοντες τὰς εὐχάς Σας εἰς τὸν ἐκδότην.

Δημήτριον Παν. Ἱερέως Διακόπουλον.

Τῇ Κ! τοῦ Μαΐου μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου Μεγαλομάρτυρος Θαλελαίου. τοῦ Ἰαματικοῦ καὶ ἀναργύρου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Στιχολογοῦμεν τὴν α! Στάσιν τοῦ, Μακάριος ἀνὴρ Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ἡ! καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος δ! Ἔδωκας σημείωσιν.

Ὄμβροις τῶν αἱμάτων σου, μεγαλομάρτυς Θαλλέλαιε, ἀθείας τὴν κάμινον ἐνθέως κατέσβεσας, νῦν δὲ τῶν θαυμάτων, ῥείθροις ἀπελαύνεις, πάθη ποικίλα καὶ πιστοῖς, ῥῶσιν παρέχεις ἐν θείᾳ χάριτι, διὸ τὴν θείαν μνήμην σου, περιχαρῶς ἑορτάζομεν καὶ τὴν κόνιν τοῦ σώματος, ἱερῶς προσπτυσσόμεθα.

Θάλλον σε κατάκαρπον, θείας ἐλαίας γνωρίσαντες ἀθλοφόρε Θαλλέλαιε, ἐλαίῳ τῶν πόνων σου, καὶ τῶν ὑπερ φύσιν, θαυματουργημάτων, ἱλαρυνόμεθα σοφῶς, τὸν ἐπὶ πάντων Θεὸν δοξάζοντες, μεγάλως σὲ δοξάσαντα ὑπὲρ αὐτοῦ καὶ ἀθλήσαντα, καὶ τῆς πλάνης τὸ φρύαγμα, παντελῶς ἀφανίσαντα..

Πελάγει ῥυπτούμενος, καὶ ταῖς ῥανίσιν εἰλούμενος, καὶ εὐτόνως ξεόμενος, μένεις ἀταπείνωτος, τοῦ Χριστοῦ σε μάκαρ, ἐπενδυναμοῦντος, ἀνδρειοτάτῳ λογισμῷ, πονηροτάτῳ φθόνῳ μαχόμενον, Θαλλέλαιε μακάριε, τῶν ἀσωμάτων ὁμότιμε, ἀθλοφόρων συνόμιλε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δεῦτε τὴν χαρμόσυνον, τοῦ Θαλλελαίου πανήγυριν ἑορτάσατε σήμερον, ἐκ πόθου ἡ σύμπασα, χορεία ἁγίων Ἀγγέλων τὰ πλήθη, καὶ τῶν μαρτύρων ὁ χορὸς τῶν ἀναργύρων τὸ θεῖον ἄθροισμα, Προφῆται καὶ Ἀπόστολοι. καὶ τῶν δικαίων τὰ πνεύματα, ὡς Χριστὸν καταγγείλαντος, καὶ στεῤῥῶς ἐναθλήσαντος.

Ἕτερα. Στιχηρὰ Προσόμοια.

Ἦχος δ! Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οὐδὲ θῆρες ἀτίθασσοι, οὐδὲ πόντου καταῤῥιψις, οὐδ' ἄλλη τις βάσανος σὲ κατίσχυσε, τῆς πρὸς Χριστὸν ἀγαπήσεως χωρίσαι Θαλλέλαιε, οὐ τὸ πῦρ τῶν πειρασμῶν. οὐ λιμὸς οὐδὲ μάχαιρα· οὐδὲ θάνατος διατοῦτο τῆς νίκης τὸ βραβεῖον, ἀνεδήσω καὶ τὴν χάριν, τῶν ἰαμάτων ἀπείληφας.

Πιανθεῖσα σοῖς αἵμασιν ἡ γῆ μάρτυς Θαλλέλαιε, φυτὸν ἀνεβλάστησεν ἀμαράντινον, ὅπερ ποικίλα νοσήματα, καὶ πάθη ἀνίατα, ἰατρεύει θαυμαστῶς, τῶν πιστῶς προστρεχόν των σοι, ἀξιάγαστε, καὶ τὴν θείαν σου μνήμην καὶ φωσφόρον, ἐκτελούντων ἐτησίως, μετ' εὐλαβείας καὶ πίστεως.

Θεοδώρου ὠμότητα, τὴν δεινὴν καὶ ἀπάνθρωπον. λογισμῷ θεόφρονι ἐμυκτήρισας. καὶ ἀνδρικῶς ἀνεκήρυξας, Χριστὸν ἕνα Κύριον, καταλλήλως ταῖς δυσί, φύσεσι γνωριζόμενον ὅν ἱκέτευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Τῶν πιστῶν ἡ ὁμήγυρις, πανταχόθεν συνέδραμεν, ἐν τῇ θείᾳ μνήμῃ σου, ὦ Θαλλέλαιε, τῶν τῆς ψυχῆς καὶ τοῦ σώματος, παθῶν ἀπολύτρωσιν ἱκετεύουσα λαβεῖν, καὶ πταισμάτων καὶ θλίψεων. ὅθεν ἅγιε, τῷ συνήθει σου χρώμενος ἔλεει ἀποπλήρου τὰς αἰτήσεις, τῶν εὐσεβῶς προσιόν των σοι.



Δόξα Ἦχος πλ. β!

Δεῦτε φιλομαρτύρων συστήματα, πανταχόθεν συνδράμοντα, τὴν σεβάσμιον πανήγυριν, τοῦ ἀναργύρου ἑορτάσωμεν. σήμερον γὰρ Ἄγγελοι πανηγυρίζουσι τὴν σεπτὴν αὐτοῦ ἄθλησιν, καὶ ἡμᾶς συγκαλοῦσι πρὸς εὐωχίαν τῶν λαμπρῶν ἀγώνων αὐτοῦ, ᾀσματικοῖς ἐγκωμίοις βοῆσαι πρὸς αὐτόν· χαίροις Θαλλέλαιε πάνσοφε, τῆς εὐσεβείας λαμπρότατε, ὑπέρμαχε, καὶ τῆς ἀσεβείας καθαιρέτα ἀκρότατε· χαίροις ὁ δοξάσας Χριστὸν τοῖς ἀθλητικοῖς σου καμάτοις, καὶ τὴν χάριν τῶν ἰάσεων παρ' αὐτοῦ κομισάμενος· χαίροις τῶν ἀσθενούντων ὁ ἰατρὸς, καὶ τῶν ἐν ἀνάγκαις θερμότατος προστάτης· πάρεσο μέσον ἡμῶν ἀοράτως, καὶ πρέσβευε πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι Παρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς· καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψονται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν. καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμίσει αὐτούς. καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία,



καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν. καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἦχος. α.

Σήμερον ἔαρ νοητόν, τῷ αἰσθητῷ ἔαρ συνεξέλαμψεν ἡμῖν, τοῦ ἀθλοφόρου ἡ ἐτήσιος μνήμη τῇ τῶν πολυχρόων ἀνθέων εὐώδει φυῇ, τὰ κοκκοβαφῆ καὶ εὐωδέστατα ῥόδα, τῆς ὑπὲρ Χριστοῦ ἀθλήσεως. τῇ τῶν μουσικῶν ὀρνίθων γλυκείᾳ ᾠδῇ, τὰ τῆς πανηγύρεως αὐτοῦ μελισταγῆ καὶ θεοκράτητα ᾄσματα· τῇ τῆς ἡλιακῆς ἀκτῖνος χρυσοειδεῖ προσβολῇ, ἡ τῶν θαυμάτων αὐτοῦ λαμπρότης· καὶ τῇ τοῦ καθαροῦ ἀέρος ἡσύχῳ πνοῇ, αἱ ζεφύριαι αὖραι τῶν αὐτοῦ ἰαμάτων, ἀναψύχουσαι τοὺς ἐν νόσοις λειποθυμοῦντας. Διὸ τοῦ διπλοῦ ἔαρος ταῖς χάρισι, τὰς τοῦ σώματος καὶ ψυχῆς αἰσθήσεις ἑστιώμενοι, συμφώνως βοήσωμεν. Ἀναργύρων κλέος Θαλλέλαιε, ἀξίωσον ἡμᾶς καὶ τοῦ ἐν οὐρανοῖς ἔαρος ἀπολαῦσαι, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

ὁ αὐτός.

Στρατιώτης ἀήττητος, καὶ ἀθλητὴς γενναιότατος ἀνεδείχθης τοῦ Χριστοῦ μακάριε. τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ τὸν δρόμον τοῦ μαρτυρίου καλῶς ἐκτελέσας, ὅθεν καὶ τὸν στέφανον τῆς δικαιοσύνης Χριστὸς σοὶ ἡτοίμασεν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Τὴν χάριν εἰληφότα σε τῶν ἰαμάτων, γνωρίσαι θέλων τοῖς ἀνθρώποις ὁ Κύριος, φυτὸν ἀναβλαστῆσαι πεποίηκεν, ἐν ᾧ τόπῳ ἡ ἱερά σου ἐτμήθη κεφαλή, Θαλλέλαιε ἀήττητε. παντοίων νοσημάτων ἀλεξίκακον φάρμακον· δι' οὗ τυφλοῖς τὸ βλέπειν· κωφοῖς τὸ ἀκούειν· καὶ χωλοῖς τὸ βημα-

τίζειν, παραδόξως χαρίζῃ· δαίμονας ἀπελαύνεις, καὶ πάθη ποικίλα θεραπεύεις, τῇ ἐπικλήσει τοῦ ὀνόματος Χριστοῦ τοῦ Θεοῦ, ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ.

Τὴν πανοπλίαν τοῦ Σταυροῦ σεαυτῷ περιβαλλόμενος, καὶ ὡς θώρακα τὴν πίστιν ἀνδρικῶς περιφραξάμενος, χαίρων πρὸς τὴν ἄθλησιν ἀπεδύσω. ἐν ᾗ τῶν εἰδώλων καταργήσας τὴν δύναμιν, τῶν τυράννων κατέβαλλες τὸ φρύαγμα, καὶ τὸν Χριστὸν Θεὸν ἀληθῆ, καὶ δημιουργὸν τοῦ παντὸς ἀνεκήρυξας· ὅθεν καὶ πρὸς αἰωνίους μονὰς στεφηφόρος ἀνέδραμες, πρεσβεύων πάντοτε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Ἦχος πλ. α!

Κρουνὸς ἰαμάτων ἄφθονος, τὸ σὸν ἀνεδείχθη ἀνακτόριον, καὶ Σιλωὰμ δεύτερος, τοῖς πᾶσιν ὁ ναός σου γνωρίζεται πλημμυρῶν ἀεννάως τοῖς πιστοῖς τὰ ἰάματα· τίς γὰρ προστρέχων τούτῳ ἐκ πίστεως, οὐ λαμβάνει ταχέως τὴν ἴασιν; ἢ τίς προσπίπτων μετὰ δακρύων· τὴν λύσιν τῶν παθημάτων οὐ κομίζηται; διατοῦτο ἰατῆρα καὶ σωτῆρα πάντων ἡμῶν, καταχρέως ἐπιγραφόμενοι, συμφώνως βοήσωμέν σοι. Θαλλέλαιε μακάριε, ὡς τῇ ἁγίᾳ τριάδι παριστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν γηθοσύνως ἑορταζόντων, τὴν ἱεράν σου πανήγυριν.

Καὶ νῦν, τῆς Ἑορτῆς. ἢ Μακαρίζομέν σοι·

Εἰς τὸν Στίχον Ἦχος πλ. α!

Χαίροις ἀσκητικῶν

Χαίροις τῶν ἀναργύρων Χριστοῦ, ἄστρον λαμπρότατον Θαλλέλαιε ἔνδοξε. θαυμάτων ἡδὺς χειμάρρους· ὁ χειρουργὸς τῶν παθῶν ψυχῶν καὶ σωμάτων ἐμπειρότατος·



ἡ κρίνη ἡ βρύουσα, ἰαμάτων γλυκύρροα, ῥεῖθρα τοῖς πίστει, τῷ ναῷ σου προσφεύγουσι, καὶ γεραίρουσι, μετὰ πόθου τὴν μνήμην σου· θάλλος ὁ εὐθαλέστατος, ἐλαίας τῆς χάριτος, ἄνθος ἀμάραν, τον πνέον, τὴν εὐωδίαν τὴν ἄρρητον. Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Θαυμαστὸς ὁ Θεός.

Χαίροις ὁ μαργαρίτης Χριστοῦ, ὁ ποθεινὸς καὶ διαυγὴς καὶ πολύτιμος· τὸ ῥόδον τὸ βεβαμμένον· ταῖς τῶν αἱμάτων σου ῥοαῖς, ἀνθῆσαν ἐν κήπῳ τῆς ἀθλήσεως· ἀκέστωρ πανάριστος, ἰατρὸς μυστικώτατος, τὰς ἀνηκέστους, ἀλγηδόνας ἰώμενος, θείου πνεύματος, ἐπιστήμῃ καὶ χάριτι, ὄρπηξ ἀειθαλέστατος, Μαρτύρων Θαλλέλαιε, νήσου τῆς Νάξου προστάτης, τῆς Ἐκκλησίας ἀγλάϊσμα. Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, τοῦ οὐρανίου βασιλέως Θαλλέλαιε, ὁ πύργος τῆς εὐσεβείας, τῶν ἐν ἀνάγκαις φρουρός· ὁ στερρὸς ὁπλίτης καὶ ἀήττητος. τῆς πίστεως πρόβολος, καὶ πιστῶν φύλαξ ἄριστος· ὁ τὰς ἰάσεις ἀναργύρως ποιούμενος, τοῖς προστρέχουσι. τῷ τεμένει σου πάντοτε. πρέσβυς ὁ δεινότατος, τῶν πίστει τιμώντων σου, τὴν παναοίδιμον μνήμην, ἡ χαρμονὴ τῶν ἐν θλίψεσι· Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα, Ἦχος πλ. β.

Σήμερον ἡμῖν' ἡ λαμπρὰ πανήγυρις ἐπεδήμησε τοῦ ἀναργύρου Θαλλελαίου· εὐωχηθῶμεν οὖν φιλέορτοι πνευματικῶς ἐν αὐτῇ, ὡς ἐν θεοπρεπεῖ πανδαισίᾳ, κατατρυφῶντες τῶν ἀγώνων αὐτοῦ· ὑπὲρ ὧν ἐν οὐρανοῖς μετ' Ἀγγέλων ἀγάλλεται, τῇ ἀπροσίτῳ δόξῃ τοῦ Θεοῦ ἡμῶν ἐλλαμπόμενος. καὶ τὴν χάριν τῶν ἰαμάτων δαψιλῶς ἀρυόμενος, ἣν ἄνωθεν ἀντικαταπέμπει πλουσίαν, τοῖς ἐκ πόθου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

αὐτὸν γεραίρουσι. καὶ πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς. ἢ τὸ Θεοτόκε σὺ ἡ ἄμπελος.

Ἀπολυτίκιον τῆς Ἑορτῆς εἰ τύχει.

Εἶτα τοῦ Ἁγίου.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος γ.

Ἀθλοφόρε ἅγιε καὶ ἰαματικὲ Θαλλέλαιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Τὸ αὐτὸ καὶ εἰς τὸν Ὄρθρον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α! Στιχολογίαν, πρῶτον τῆς ἑορτῆς εἰ τύχει

Εἶτα τοῦ Ἁγίου. Ἦχος α!

Τὸν τάφον σου Σωτήρ.

Τυράννου τὰς ὁρμάς, καταισχύνας γενναίως, εἰς βάθη ψαλμικῶς, τῆς θαλάσσης ἐρρίφης, κἀκεῖθεν θείᾳ χάριτι, λευκοφόρως ἀνέδραμες, θαῦμα ἅπασι τοῖς ἀπιστοῦσι δεικνύων, τὴν δὲ ἴασιν, τῶν νοσημάτων παρέχων, ἡμῖν τοῖς τιμῶσί σε.

Δόξα τὸ αὐτό. Καὶ νῦν. ὅμοιον.

Μαρία ἡ τὰς τρεῖς, ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον. Θεόν τε καὶ τὸν ἄνθρωπον· πίστιν τε καὶ πιστεύουσαν, τοῖς ξενίζουσι τούτοις καρδίαν ἀνθρώπου, δι' ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ καὶ σῶσον πανύμνητε.

Μετὰ δὲ τὴν β'. στοιχ. Κάθισμα τοῦ Ἁγίου.



Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Τὸν ἀστέρα τὸν λαμπρὸν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τὸν αὐγάζοντα ἡμᾶς, ταῖς τῶν θαυμάτων ἀστραπαῖς, μελῳδικῶς εὐφημήσωμεν γεγηθότες· ὑπάρχων γὰρ ἀεί, θαυματουργὸς ἰατρός, τὰς νόσους τῶν ψυχῶν. καὶ τῶν σωμάτων ἡμῶν, ἀποδιώκει χάριτι θείᾳ, καὶ ἀγλαΐζει τοὺς κράζοντας πάρεσο μάρτυς, τοῖς ἐν ἀνάγκαις, βοηθὸς ἀπροσμάχητος.

Δόξα τὸ αὐτό.

Καὶ νῦν τῆς ἑορτῆς· ἢ τὸ παρὸν ὅμοιον.

Τὸ μυστήριον Ἁγνή, τῆς σῆς λοχείας τὸ φρικτόν, οἱ προφῆται τοῦ Θεοῦ· πόρρωθεν βλέποντες τρανῶς, προφητικοῖς ἀνεκήρυττον, σὲ ὄρον νοητόν· καὶ θείαν τράπεζαν, καὶ ῥάβδον Ἀαρών· καὶ θείαν κλίμακα· καὶ θυγατέρα κράζουσι τοῦ Βασιλέως, καὶ κιβωτὸν ἁγιάσματος, καὶ πύλην ἄλλος σὲ ὀνομάζει· καὶ σκηνὴν θεοκόσμητον.

Μετὰ δὲ τὸν πολυέλεον. Κάθισμα τοῦ Ἁγίου.

Ἦχος πλ. δ.' Τὴν σοφίαν καὶ λόγον.

Εὐσεβείᾳ τῷ ζήλῳ πυρακτωθείς, ὡς Ἠλίας τῷ πάλαι τῶν δυσεβῶν, ἔθραυσας φρυάγματα, καὶ Χριστὸν ἀνεκήρυξας, δημιουργὸν τῶν ὅλων, καὶ κτίστην καὶ Κύριον, σὺν τῷ Πατρί τε ὄντα καὶ Πνεύματι σύνθρονον· ὅθεν ἐπαξίως, ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα, θεραπεύειν παθήματα, τῶν πιστῶς προστρεχόντων σοι, ἀθλοφόρε Θαλλέλαιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Ὅμοιον.

Ἀμελῶς τὴν ζωήν μου διαγαγών, καὶ ἐλέους ἐλπίδα, μὴ ἐσχηκώς, εἰς βυθὸν ὁ ἄθλιος, ἀπογνώσεως ἤγγισα, ἀλλὰ τῷ σῷ ἐλέει, θαρρήσας προσέρχομαι, προφθάσα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σά με ῥῦσαι, ἐκ πάσης κολάσεως, ἵνα κατὰ χρέος, προσκυνῶν ἀνυμνῶ σε, καὶ πόθῳ δοξάζω σου, τὸ ἀμέτρητον ἔλεος καὶ τὴν χάριν πανάμωμε, τὴν πολλὴν καὶ ἀμέτρητον, πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν πανάγιον τόκον σου

Οἱ Ἀναβαθμοὶ τὸ ά. Ἀντίφωνον τοῦ δ'. Ἤχου.

Προκείμ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στοιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος. Πᾶσα πνοή. Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων, ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν, καὶ συγγενῶν καὶ φίλλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου, καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτίσασθε τὰς ψυχὰ ἡμῶν.

Μετὰ δὲ τὸν Πεντικοστόν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλεήμων ἐλεησόν με, ὁ Θεός. Ηχος πλ. β'.

Ο βάσιμος κύβος τῆς πίστεως· ὁ πολυχωρότατος κύκλος τῶν χαρίτων, καὶ τῶν θαυμάτων, Θαλλέλαιος ὁ ἀήττητος· μεταβὰς σήμερον ἀπὸ γῆς εἰς οὐρανόν, διὰ τοῦ μαρτυρίου, τῷ θρόνῳ τῆς ἁγίας τριπαρίσταται· καὶ πρεσ-



βεύει ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων, τὴν πασέβαστον αὐτοῦ ἄθλησιν.

---

Οἱ Κανόνες, πρῶτον τῆς ἑορτῆς, εἰ τύχει, εἶδ' οὖν.

Ὁ εἷς τῆς Θεοτόκου Ποίημα. Θεοδώρου βασιλέως Λασκάρεως. Ὠδὴ α! Ἦχος, δ! Ἀνοίξω τὸ στόμα μου.

Χαρὰν ἡ κυήσασα, χαῖρε Παρθένε Θεόνυμφε, ἀρᾶς ἀλλοτρίωσις, χαῖρε πανάμωμε, χαῖρε Δέσποινα, τοῦ κόσμου προστασία, χαῖρε καταφύγιον τῶν προστρεχόντων σοι.

Χαρᾶς οὖσα πρόξενος, χαῖρε Θεόνυμφε Δέσποινα, ἀρὰν ἡ μειώσασα, χαῖρε ἀπείρανδρε, χαῖρε πάναγνε, ψυχῆς ἐμῆς ἡ σκέπη, χαῖρε μητροπάρθενε, χαῖρε πανύμνητε.

Χαῖρε θεία τράπεζα, χαῖρε λυχνία ὁλόφωτε· χαῖρε θρόνε πύρινε, χαῖρε ναὲ τοῦ Θεοῦ· χαῖρε ὄχημα τοῦ πάντων βασιλέως· χαῖρε πόλις ἔμψυχε, τοῦ παντοκράτορος.

Χαῖρε ὄρος ἅγιον, χαῖρε οὐράνιος γέφυρα· χαῖρε κλίμαξ ἔμψυχε· χαῖρε νεφέλη χρυσῆ· χαῖρε ἄχραντε ψυχῶν ἡ σωτηρία· χαῖρε πανακήρατε· χαῖρε πανύμνητε.

Κανὼν νέος τοῦ Ἁγίου (α). Οὗ ἡ ἀκροστιχίς.

Χριστοῦ ὁ Μάρτις τὸν δὲ αἶνον προσδέχου.

ᾨδὴ ά! Ἦχος δ! Ἀνοίξω τὸ στόμα μου.

Χαρίτωσον δέομαι, ἐν τῇ ἀνοίξει τοῦ στόματός μου, τὸν λόγον ἅγιε, καὶ φωταγώγησον, τὴν διάνοιαν, ἀκτῖσι τῆς σοφίας· ὅπως ἐπαξίως σου μέλψω τὴν ἄθλησιν.

Ρητόρων δεινότητες, γλῶσσαι καὶ τέχναι καὶ μέθοδοι, πρὸς μίαν κινείσθωσαν, πᾶσαι ὑπόθεσιν, τὴν σεβάσμιον, τοῦ λαμπροῦ Θαλλελαίου, κροτοῦσαι πανήγυριν θείοις ἐν ᾄσμασιν.

Ἰδοὺ σοι ἐπέφανε, λαὲ Κυρίου χριστώνυμε, ὡς κῆπος θεόφυτος, καὶ ὡς παράδεισος, ζωομύριστος, ἡ μνήμη Θαλλελαίου, κατευωδιάζουσα πάντας ἐν χάριτι·

Θεοτοκίον.

Σοφίας σε θάλαμον, ἐνυποστάτου γινώσκομεν, καὶ θεῖον ἀνάκτορον πατρὸς πανάχραντε, καὶ παλάτιον, πνεύματος τοῦ ἁγίου, ὅλης τῆς θεότητος ἔμψυχον τέμενος

Ὠδὴ γ! Τοὺς σοὺς ὑμνολόγους.

Χαῖρε παρθενίας ἡ λαμπρότης, χαῖρε τῶν μαρτύρων χαρμονή, χαῖρε χαρὰ ἀπέραντος· χαῖρε ἡ ἀπολύτρωσις, τῆς πρώτης Εὔας Δέσποινα· χαῖρε τοῦ κόσμου ἀνάκλησις.

Χαῖρε ἱλαστήριον τοῦ κόσμου· χαῖρε τῶν Ἀγγέλων ἡ χαρά· χαῖρε θαῦμα παγκόσμιον, καὶ ἄκουσμα περίδοξον· χαῖρε μῆτερ ἀπείρανδρε τοῦ ποιητοῦ πάσης κτίσεως.

Χαῖρε μυροθήκη πανευώδης, χαῖρε ἁγιάσματος πηγή· χαῖρε κρίνον ἡδύπνοον, καὶ ἄνθος πολυέραστον· χαῖρε νεφέλη πάγχρυσε. χαῖρε λυχνία επτάφωτε.

Θεοτοκίον.

Χαῖρε ἀντιλήψεως ὁ πύργος· χαῖρε ναυαγούντων ὁ λιμὴν χαῖρε ῥόδον ἀμάραντον· χαῖρε πιπτόντων ἔγερσις· χαῖρε θεῖον ἐξίλασμα, τῶν ὀρθοδόξων θεόνυμφε.

Τοῦ Ἁγίου, Ὁ αὐτός.

Τὸ πάντων ἐντρύφημα Ναξίων, Μαρτύρων ὡράϊσμα φαιδρόν· τῶν ἀναργύρων καύχημα, καὶ ἰατρὸν ἀδάπανον, Θαλλέλαιον τὸν ἔνδοξον, μελῳδικῶς εὐφημήσωμεν.

Ὁ θεῖος ναός σου, καθορᾶται, κοινὸν ἰατρεῖον τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἅπαντα, ἰώμενον παθήματα· διὸ οἱ κακῶς ἔχοντες, ἐν τούτῳ πάντες προσφεύγομεν.



Ὑπέστης γενναίως τὸν ἀγῶνα, ἀθλήσεως ἔνδοξε τῆς σῆς· καὶ νίκης διαδήματι, τὴν κορυφὴν κατέστεψαι, καὶ πρὸς Χριστοῦ ἀπείληφας, χάριν ἰᾶσθαι νοσήματα.

Θεοτοκίον.

Ὁ νοῦς τῶν βροτῶν τε καὶ Ἀγγέλων· νοῆσαι οὐ δύναται Ἁγνή, τὸ ὑπὲρ νοῦν μυστήριον, τοῦ τοκετοῦ σου Δέσποινα· τοῦτο καὶ γὰρ νοούμενον, μένει ἀεὶ ἀνεννόητον.

Κάθισμα. Ἦχος δ!

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Φωτοειδὴς ἀναδειχθὴς ἀθλοφόρος, τῆς ἀθείας σκοτασμὸν ἀπεκρούσω, καὶ πρὸς ποινὰς καὶ θάνατον ἐχώρησας· ὅθεν διανήσας σου, τοὺς γενναίους ἀγῶνας, μέγιστον ἀντέλαβες, κληρουχίαν καὶ δόξαν, τὴν μηδαμῶς γενναῖε ἀθλητὰ, παρερχομένην Θαλλέλαιε ἔνδοξε.

Δόξα τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς, εἰ τύχει.

Εἰδ' οὖν τὸ παρὸν Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου· κράζοντες καὶ λέγοντες. Παναγία παρθένε, πρόφθασον καὶ λύτρωσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς· σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

ᾨδὴ δ! Τὴν ἀνεξιχνίαστ.

Χαῖρε ἡ σωτήριος πάντων ἐλπὶς, χαῖρε ἡ κατάκαρπος ἄμπελος· χαῖρε ἡ πύλη τοῦ Θεοῦ ἡ μυστική, χαῖρε ἡλίου ὄχημα· χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε κατάσκιον ὄρος Θεοῦ· χαῖρε τὸ πανάγιον τέμενος χαῖρε ἡ κλίμαξ, ἣν προεῖδεν Ἰακώβ, χαῖρε παρθένε πάναγνε· χαῖρε Θεοτόκε πανύμνητε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Χαῖρε εὐωδέστατον μύρον Θεοῦ· χαίροις δυσθεώρητον ὅραμα, ὅπερ προεῖδεν ὁ προφήτης 'Αββακούμ· χαῖρε πιστῶν διάσωσμα· χαῖρε Θεοτόκε πανύμνητε·

Χαῖρε δωδεκάτειχε πόλις Θεοῦ· χαῖρε θείας δόξης παλάτιον, χαῖρε καθέδρα, τοῦ τῶν ὅλων ποιητοῦ· χαῖρε τοῦ λόγου τράπεζα· χαῖρε Θεοτόκε πανύμνητε,

Τοῦ 'Αγίου. 'Ο καθήμενος ἐν δόξῃ.

Μαρτυρίου τοῦ σεπτοῦ σου, λαμπρὰ πέλει τὰ τρόπαια· λαμπροὶ οἱ ἀγῶνες, οὓς ὑπὲρ Χριστοῦ ἐξετέλεσας· λαμπρὰ δὲ πάντα ὑπάρχει σου τὰ θαύματα, ὦ Θαλλέλαιε· διὸ λαμπρῶς σὲ γεραίρομεν.

Ἄστρον ἄδυτον καθάπερ,καὶ ὥσπερ σελήνη ὁλόφωτος, ὡς ἡλίου δίσκος, ἡ σεπτὴ εἰκών σου Θαλλέλαιε, καταφωτίζει τοὺς πόθω σοι προσπίπτοντας, καὶ ἐκ πίςεως, ἀσπαζομένους πανένδοξε.

Ῥείτω μοι χρυσίον ἅπαν, ῥείτω μοι ἀργύριον, ῥείτω μοι, πλοῦτος δυναστεία· ἐμοὶ πλοῦτος πέλει ἀπέραστος, τὸ τοῦ Χριστοῦ μου γλυκὺ καὶ θεῖον ὄνομα, ὁ Θαλλέλαιος τῷ τυρανοῦντι ἀνέκραζεν.

Θεοτοκίον.

Τὸ μὲν βρέφος σου ὑπάρχει, ἀληθὴς Θεὸς πάναγνε σὺ δ' ἡ τούτου μήτηρ ἀληθὴς παρθένος διέμεινας, μετὰ τὸν τόκον τί μεῖζον τούτου ἕτερον, κτίσις ἅπασα, θαῦμα ἑώρακε πώποτε.

Ὠδὴ ε! 'Εξέστη τὰ σύμπαντα.

Χαῖρε ἡ βαστάσασα, τὸν φυτουργὸν τῆς κτίσεως· χαῖρε ἡ τεκοῦσα τὸν τροφέα, παντὸς τοῦ κόσμου· χαῖρε ἡ ῥίζα Δαυΐδ, ἡ τὸν συνοχέα τοῦ παντός, ὑπὲρ πᾶσαν ἔννοιαν ἐκφυεῖσα δ' ἔλαιον.

Χαῖρε τεῖχος ἄρρηκτον, καὶ σκέπη τῶν τιμώντων σε·



χαῖρε γηγενῶν ἡ προστασία, καὶ παρρησία· χαῖρε βροτῶν ἡ ἐλπίς, πάντων ἀγαλλίαμα τερπνόν, τῶν μακαριζόντων σε, παμμακάριστε Δέσποινα.

Χαίροις ἀκατάληπτον, καὶ τοῖς 'Αγγέλοις ὅραμα· χαίροις ἀνερμήνευτον καὶ ξένον, ἄρρητον θαῦμα, χαῖρε θυγάτηρ Δαυΐδ μήτηρ τε τοῦ πάντων ποιητοῦ, καὶ ἁπάσης Δέσποινα, καὶ κυρία τῆς κτίσεως.

Χαῖρε ἅρμα πύρινον, τοῦ πάντων βασιλεύοντος· χαῖρε πορφυρὶς ἡ νοουμένη, τοῦ Θεοῦ λόγου· χαῖρε λαβὶς μυστική, καὶ θυμιατήριον χρυσοῦν, πύλη ἀδιόδευτε, παμμακάριστε Δέσποινα.

Τοῦ 'Αγίου. 'Ο αὐτός.

Ὑπέδυς ἐν ὕδασιν, ἀλλ' ὅμως ὑποβρύχιος, ἐν τούτοις οὐ γέγονας, ὦ μάρτυς, ἀλλ' ἐκ θαλάσσης ὡς ἐκ νυμφῶνος λαμπρός, ἀνῆλθες Θαλλέλαιε φορῶν, ἐσθῆτα διάλευκον, ὡς νυμφίος φαιδρότατος.

Σύ μοι μάρτυς γένοιο, νοσοῦντι θεία ἴασις· ὄντι ἐν κινδύνοις προστασία· ἐκλείποντί μοι χειραγωγὸς καὶ φρουρός· καὶ παρισταμένῳ τῷ κριτῇ, πρεσβευτὴς δραστικώτατος, τῆς γεένης ῥυόμενος.

Τίς ἐμὲ χωρίσειε, Χριστοῦ τῆς ἀγαπήσεως; Μάρτυς τῷ τυράννῳ ἀνεβόας· οὐ πῦρ οὐ ξίφος οὐδὲ κολάσεις φρικταί· λιμὸς οὐ θανάτου ἀπειλαί· διὸ σφάττε μάστιζε, καὶ παντοίως με κόλαζε.

Θεοτοκίον.

Ὁ πᾶσιν ἀχώρητος, ἐν μήτρα σου πανάμωμε, ὅλος χωρηθῆναι κατεδέχθη, χωρητικόν με ἵν' ἀπεργάσηται, χάρητος αὐτοῦ τῆς παντουργοῦ, καὶ ὅλον θεώσῃ με, κατὰ χάριν τὸν ἄνθρωπον.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Χαῖρε ἀνήροτος ἄρουσα· χαῖρε ἡ ἀγεώργητος ἄμπελος· χαῖ-

ρε παράδεισε· χαῖρε πηγὴ ἡ ἀκένωτος· χαῖρε τοῦ μάνα στάμνε· χαῖρε Θεόνυμφε.

Χαῖρε λιμὴν ἀκλυδώνιστε, χαῖρε πολεμουμένων προπύργιον χαῖρε ὀχύρωμα· χαῖρε πιπτόντων ἀνόρθωσις. χαῖρε ὑψίστου μήτηρ, χαῖρε πανάμωμε.

Χαίροις ἐλαία κατάκαρπε· χαίροις περιστερὰ κοσμοπόθητε· χαῖρε μητρόθεε· χαῖρε Μαρία πανάσπιλε· χαῖρε ἁγία κόρη· χαῖρε πανύμνητε.

Χαῖρε λαβὶς θείου ἄνθρακος· χαῖρε θυμιατήριον πάγχρυσον· χαῖρε ὀσφράδιον· χαῖρε δοχεῖον τοῦ πνεύματος· χαῖρε παστὰς τοῦ λόγου· χαῖρε φιλάγαθε.

Τοῦ Ἁγίου ὁ αὐτός.

Ναοῦ ἐκ θείου τοῦ μάρτυρος, προέρχεται πηγὴ τῶν ἰάσεων· δεῦτε ἀντλήσατε, πάντες γλυκύρροα νάματα, οἱ διαφόροις νόσοις κατατηκόμενοι.

Δικαιοσύνης ὁ πρύτανις, Χριστὸς τὴν δεξιὰν προετείνατο, καὶ ἐστεφάνωσεν, ἀμαραντίνοις στεφάνοις σε, τῆς ἀκηράτου δόξης Μάρτυς Θαλλέλαιε.

Ἐφλέχθης ζήλῳ τῆς πίστεως, καὶ πλάνης κατεμάρανας ἄνθρακας, Μάρτυς Θαλλέλαιε, θεολογίας τὰ δόγματα τῆς ἀληθοῦς κηρύξας πᾶσι τρανότατα.

Θεοτοκίον.

Ἀσπόρως κόρη συνέλαβες, ἀκόπως δὲ ἐν μήτρα ἐβάστασας, Χριστὸν τὸν Κύριον· ἀφθόνως δὲ ἀπεγέννησας. ὢ τεραστίων ξένων! τίς οὐ θαυμάσεται;

Κοντάκιον τοῦ Ἁγίου Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Τῶν Μαρτύρων σύναθλος, ἀναδειχθεὶς καὶ ὁπλίτης, στρατιώτης ἄριστος, τοῦ βασιλέως τῆς δόξης, γέγονας διὰ βασάνων καὶ τιμωρίας, ἔπαρσιν εἰδωλολατρῶν κατα-



πατήσας· διατοῦτο τὴν σεπτήν σου, ὑμνοῦμεν μνήμην σοφὲ Θαλλέλαιε.

Ὁ Οἶκος.

Τὸν εἰς βάθη κακίας κατολισθήσαντα· τὸν ποικίλαις ἡδοναῖς καταχρασθέντα, καὶ ἐν τάφῳ δεινῆς ῥαθυμίας κατακείμενον, ἔγειρόν με Ἅγιε τῇ ἐπιστασίᾳ σου· ἀναπτέρωσόν μου τὸν νοῦν πρὸς τὴν θείαν ἀγάπησιν· σὺ δίδου μοι λόγον, ἵνα κατ' ἀξίαν ὑμνήσω τῶν σῶν θαυμάτων τὴν ἄβυσον· ἐὰν γάρ μοι δῷς λόγον, κολληθήτω ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μὴ σοῦ μνησθῶ· καὶ πόθῳ ἀναβοήσω· διατοῦτο τὴν σεπτήν σου ὑμνοῦμεν μνήμην σοφὲ Θαλλέλαιε.

Τῷ αὐτῷ μηνὶ Κ'. Τοῦ Ἁγίου Μάρτυρος Θαλλελαίου τοῦ ἰαματικοῦ καὶ ἀναργύρου.

» Ἀκέστορι τμηθέντι τῷ Θαλλελαίῳ.
» Θεὸς βοτάνην πρὸς λύσιν πέμπει πάθους.
» Εἰκοστῇ Θαλλέλαιος ἑὴν κεφαλὴν ἀπετμήθη.

Οὗτος ὁ ἅγιος Θαλλέλαιος ἦτο κατὰ τοὺς χρόνους τοῦ βασιλέως Νουμεριανοῦ, ἐν ἔτει σπδ' (284) καταγόμενος ἀπὸ μίαν χώραν τῆς Φοινίκης ὀνομαζομένην Λίβανον, υἱὸς πατρὸς μὲν Βερουχίου ἀρχιερέως τῶν χριστιανῶν, μητρὸς δὲ Ῥωμυλίας. Μαθὼν δὲ οὗτος τὴν ἰατρικὴν τέχνην, καὶ κρυπτόμενος εἰς ἕνα ἐλαιῶνα, διὰ τὸν φόβον τῶν εἰδωλολατρῶν, ἐπιάσθη ὡς χριστιανὸς κατὰ τὴν πόλιν Ἀνάζαρβον, τὴν εὑρισκομένην εἰς τὴν δευτέραν τῶν Κιλίκων ἐπαρχίαν, καὶ ἐφέρθη εἰς τὸν ἄρχοντα Θεόδωρον, ὁ ὁποῖος, ἐπειδὴ δὲν ἐδυνήθη νὰ πείσῃ τὸν ἅγιον νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα, ἐπρόσταξε νὰ τρυπήσωσι τοὺς ἀστραγάλους του καὶ νὰ περάσωσι σχοινίον ἀπὸ αὐτούς· ἔπειτα νὰ κρεμάσωσιν αὐτὸν κατακέφαλα. Οἱ ὑπηρέται λοιπὸν ἐνόμισαν ὅτι ἐξετέλεσαν τὴν προσταγὴν τοῦ ἄρχοντος, καὶ ἐτρύπησαν τοὺς ἀστραγάλους τοῦ ἁγίου, καὶ τὸν ἐκρέμασαν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῇ δὲ ἀληθείᾳ οὔτε τὸν ἐτρύπησαν, οὔτε τὸν ἐκρέμασαν, διότι ἐπατάχθησαν ἀπὸ ἀορασίαν, καὶ ἀλλοιωθέντες τὸν νοῦν ἀπό τινα θείαν δύναμην, δὲν ἤξευραν τὶ ἔκαμνον, ὥστε τρυπήσαντες ἕν ξύλον ἐκρέμασαν αὐτὸ ἀντὶ τοῦ ἁγίου. Ὅθεν ὁ ἄρχων νομίσας ὅτι τὸν ἐμπαίζουσιν οἱ στρατιῶται, ἔδειρεν αὐτούς· δύω δὲ ἐξ αὐτῶν, Ἀλέξανδρος καὶ Ἀστέριος ὀνομαζόμενοι, βλεποντες τὸ τοιοῦτον παράδοξον, ἐπίστευσαν εἰς τὸν Χριστόν. Διὰ τοῦτο ἀπεκεφαλίσθησαν, καὶ ἔλαβον τοὺς στεφάνους τοῦ μαρτυρίου.

Ἀπορήσας δὲ ὁ ἡγεμὼν καὶ μὴ ἠξεύρων τί νὰ κάμῃ, επεχείρησε μόνος νὰ τρυπήσῃ τοὺς ἀστραγάλους τοῦ ἁγίου· ἀλλ' ἅμα ἠθέλησε νὰ σηκωθῇ ἀπὸ τὸν θρόνον, ὤ τοῦ θαύματος! ἐκόλλησεν ὁ θρόνος ὀπίσω εἰς τὴν ῥάχιν του, καὶ δὲν ἠδύνατο πλέον νὰ σηκωθῇ. Ὁ δὲ ἅγιος συμπονέσας αὐτὸν, προσηυχήθη, καὶ οὕτω διὰ τῆς προσευχῆς του ἐξεκόλλησεν ὁ θρόνος ἀπὸ τὴν ῥάχην του· ὅθεν διὰ τὸ θαυμάσιον τοῦτο πολλοὶ Ἕλληνες ἐπίστευσαν εἰς τὸν Χριστόν. Ὁ δὲ ἡγεμὼν ἔμεινε πάλιν πεπωρωμένος ἀπὸ τὴν ἀπιστίαν· διὸ καὶ πάλιν ἐπεχείρησε νὰ τρυπήσῃ τοὺς ἀστραγάλους τοῦ ἁγίου, καὶ ὤ τοῦ θαύματος! εὐθὺς ἐξηράνθησαν αἱ χεῖρές του· ἀλλ' ὅμως ὁ ἅγιος μὴ ἀποδιδοὺς κακὸν ἀντὶ κακοῦ, πάλιν ἰάτρευσε τὰς χεῖρας τοῦ ἀχαρίστου. Ἐπιμένων δὲ ὁ ἡγεμὼν εἰς τὴν ἀπιστίαν, ἐπρόσταξε νὰ ῥίψωσι τὸν ἅγιον μέσα εἰς τὴν θάλασσαν, ἀπὸ τὴν ὁποίαν ἐκβῆκεν ὁ μάρτυς ἀβλαβής, φορῶν λευκόν τι ἔνδυμα. Μετὰ ταῦτα ἐδόθη ὁ ἅγιος εἰς τὰ θηρία διὰ νὰ τὸν κατασπαράξωσιν, ἐφυλάχθη ὅμως καὶ ἀπὸ αὐτὰ ἀβλαβὴς διὰ τῆς θείας χάριτος· τελευταῖον δὲ ἀποκεφαλισθεὶς εἰς τὴν Ἔδεσαν τῆς πόλεως Αἰγαίων, ἔλαβε τοῦ μαρτυρίου ἀκήρατον στέφανον. (Τὸν κατὰ πλάτος βίον τοῦ ἁγίου τούτου, ὅρα εἰς τὸ νέον Ἐκλόγιον.) (1)

---

(1) Ἡ σύναξις καὶ ἑορτὴ τοῦ ἁγίου τούτου Θαλλελαίου τελεῖται καὶ ἐν τῇ νήσῳ Νάξῳ, ὅπου ἔν τινι μονιδρίῳ τελεῖται πάνδημος ἑορτὴ, καὶ πολλὰ θαύματα γίνονται παρὰ τοῦ ἁγίου εἰς τοὺς μετὰ πίστεως αὐτῷ προστρέχοντας. Τὴν δὲ ἀκολουθίαν τούτου (ἥτις ἔστιν ἡ παροῦσα) ἀνεπλήρωσε καὶ τελείαν ἀπειργάσατο ἡ ἐμὴ ἀδυναμία, μετὰ προσθήκης κανόνος· Προσέθηκα δὲ καὶ κανόνα παρακλητικὸν εἰς τὸν αὐτὸν ἅγιον τὸν ὁποῖον ὅρα ἔμπροσθεν. Σημ. ἐκ τοῦ Συναξαριστοῦ. Δ. Θ.



Ωδὴ ζ! Οὐκ ἐλάτρευσαν.

Χαῖρε πύλη ἀδιόδευτε ἣν ὥδευσε, μόνος ὁ ὕψιστος, ἐσφραγισμένη πηγὴ, χαῖρε θεῖον τέμενος νόμου τῆς χάριτος· χαῖρε γέφυρα, πιστοὺς πάντας μετάγουσα, πρὸς τὴν ἄνω κληρουχίαν.

Χαῖρε ὄρος, ἀλατόμητον ἀλάξευτον, ὃ προεώρακεν, ὁ Δανιὴλ μυστικῶς· χαῖρε βάτε ἄφλεκτε, ἣν ἐθεάσατο, κόρη Μωσῆς· χαῖρε τὸ σεμνολόγημα, Προφητῶν καὶ Ἀποστόλων.

Χαῖρε ῥάβδος Ἀαρὼν, ἡ ὑπὲρ ἔννοιαν ἀναβλαστήσασα, τὸν φυτουργὸν τῆς ζωῆς· χαῖρε νόμου πλήρωμα καὶ Προφητῶν ἡ σφαγὶς· χαῖρε Δέσποινα· χαῖρε παρθένε πάνσεμνε, παναγία Θεοτόκε.

Χαῖρε μῆτερ, ἀπειρόγαμε τοῦ κτίστου σου θεοχαρίτωτε· χαῖρε πιστῶν ἡ ἐλπὶς· χαῖρε ἡ πηγάσασα ὕδωρ ἀλλόμενον· χαῖρε καύχημα, καὶ θεῖον ἀγαλλίαμα· τῶν πιστῶς σὲ γεραιρόντων.

Τοῦ ἁγίου· Ὁ αὐτός.

Ἱεράτευσας, σαυτὸν τῷ παντοκράτορι, ὡς ἐθελόθητον, θυσίαν καὶ ἱερὰν, ζῶσαν καὶ εὐπρόσδεκτον, μάρτυς Θαλλελαιε, ἐκκενώσας σου, τὸ αἷμα προθυμότατα, ὑπὲρ τούτου ἀθληφόρε·

Νομιμώτατα, τὸν δρόμον ἐξετέλεσας, τοῦ μαρτυρίου σου, γενναιοτάτῳ νοΐ καὶ πίστην τὴν ἔνθεον, καλῶς ἐτήρησας· ὅθεν ἅγιε ἐν οὐρανοῖς ἀπόκειται, τὰ βραβεῖά σοι τῆς νίκης.

Ὀπαλίμφημος, τῶν νόσων ἀπελαύνετε, ἑσμὸς Θαλλέλαιε· καὶ τῶν δαιμόνων πληθὺς, ἀποσκορακίζεται τῇ ἐπικλήσει σου· καὶ σωζόμενοι, οἱ πάσχοντες βοῶσί σοι· χαῖρε μάρτυς τοῦ Κυρίου.

Ὠδὴ η! Παῖδες εὐαγεῖς.

Χαίροις οὐρανῶν ὑψηλοτέρα, πασῶν τε τιμιωτέρα θείων τάξεων· χαῖρε βάθος ἄπειρον· ὕψος ἀκατάληπτον· χαῖρε τὸ ἱλαστήριον τῆς ἄνω κλήσεως, τῆς τῶν βροτῶν φθαρείσης οὐσίας· χαῖρε Θεοτόκε ἐλπὶς ἀπηλπισμένων.

Χαῖρε τοῦ Θεοῦ τὸ θεῖον ὄρος, καὶ πίον τετυρωμένον ἀλατόμητον· χαῖρε χωνευτήριον, τῆς φθαρείσης φύσεως; χαῖρε παστὰς ἑνώσεως τῶν δύω φύσεων· ἐν σοὶ γὰρ τοῦ Θεοῦ αἱ πορεῖαι, ἀληθεῖς ὁρῶνται· Παρθένε εἰς αἰῶνας.

Χαῖρε ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ πλάκες τῆς διαθήκης θεολάξευτοι· χαῖρε τὸ κεφάλαιον, νόμου καὶ χάριτος· χαῖρε κρηπὶς τῶν προφητῶν ἁγία Δέσποινα, μαρτύρων Ἀποστόλων τὸ κλέος· χαῖρε τῶν ὁσίων Παρθένε θυμηδία.

Χαίροις θησαυρὲ θείων χαρίτων, καὶ πάντων τῶν ἀγαθῶν αἰτία Πάναγνε· χαίροις ἐγκαλλώπισμα, πάντων τῶν ὑμνούντων σε· χαῖρε λιμὴν ἀχείμαστε καὶ ὁρμητήριον, πλεόντων ἐν τῷ βίου πελάγει· χαῖρε θλιβομένων παράκλησις Παρθένε.

Τοῦ ἁγίου. Ὁ αὐτός·

Πηγὴ ἡ ἐκ θείων σου λειψάνων, ἀφθόνως προχεομένη τῶν ἰασέων, κύματα θαλάσσια, χάριτι ἐκάλυψε· καὶ Σιλωὰμ γνωρίζεται τοῖς πᾶσι δεύτερος· Νειλῷα ὑπερβαίνουσα ῥεῖθρα· καὶ παθῶν παντοίων, ῥῶσιν χαριζομένη·

Ῥόδων τε καὶ ἴων καρύας, καὶ πάντων τῶν ἀκροδρύων θεόφυτος, κῆπος καὶ κυπρίζουσα, ἄμπελος γνωρίζεται, φυτὸν ὅπερ ὁ Κύριος εἰς τὸ σὸν ὄνομα, ἐβλάστησε παθῶν δυσωδίαν, διώκον καὶ χάριν ὑγιείας ἀποπνέων.



Ὅλος τετρωμένος τῇ ἀγάπῃ Χριστοῦ τοῦ Θεοῦ μάρτυς Θαλλέλαιε, χαίρων καθυπέμεινας, κακώσεις τοῦ σώματος, καὶ γεγηθὼς διήνυσας, σοῦ τὸ μαρτύριον, ὡς ῥόδα τὰ ἐπίπονα βλέπων, καὶ ὡς τρυφὰς πάσας ἡγούμενος βασάνους

Θεοτοκίον·

Σάρκα ὑλικὴν ἠμφιεσμένος, προῆλθεν ἐκ σοῦ παρθένε ὁ ἀσώματος, λόγος καὶ συνάναρχος, τῷ Πατρὶ καὶ Πνεύματι καὶ τοὺς βροτοὺς διέσωσε, τοῦ πρώην πτώματος, πρὸς ἄρευστον ζωὴν ἐπανάγων, καὶ πρὸς μετουσίαν, τρυφῆς τοῦ παραδείσου·

Ὠδὴ θ! Ἅπας γηγενής.

Χαίροις παρ' ἡμῶν, Μαρία θεόνυμφε κόσμου ἀντίληψις· χαῖρε ἄστρον ἄδυτον, φωτὸς δοχεῖον, τριάδος τέμενος· χαῖρε τοῦ λόγου σκήνωμα καὶ πάντων στήριγμα, τῶν βοώντων, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε·

Χαῖρε ἡ χρυσῆ, λυχνία καὶ τράπεζα πιστοὺς ἐκτρέφουσα. χαίροις ἀγεώργητε, γῆ ζωηφόρον στάχυν βλαστήσασα χαῖρε πηγὴ βλυστάνουσα ὕδωρ φυσίζωον, τοῖς βοῶσι· χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε·

Χαῖρε ἡ παστὰς, ἐν ᾗ ἐνυμφεύσατο Θεὸς τὴν φύσιν ἡμῶν· χαῖρε ἡ κατάκαρπος, ἐλαία πάντας καθιλαρύνουσα· χαῖρε λουτὴρ ἀκένωτε θείας καθάρσεως, τῶν βοώντων· χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε·

Χαίροις νοητὴ κογχύλη ἡ βάψασα τὴν ἁλουργίδα Θεοῦ· χαῖρε τὸ πολύτιμον, καὶ θεῖον μύρον εὐωδιάζον πιστούς· χαῖρε τεῖχος ἀπόρθητον, καὶ καταφύγιον τῶν βοώντων χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε·

Τοῦ ἁγίου· Ὁ αὐτός·

Δέχου τὸ ἐμόν, ἐφύμνιον δέομαι, μάρτυς Θαλλέλαιε· ὥσπερ ἀξιόθεον, δῶρον καθάπερ, ναὸν πολύτιμον, ὡς ἀρωματοσύνθετον μῦρον πανόλβιε, καὶ τὴν λύσιν, τῶν κακῶν μοι δώρησαι, ὧν ἀφρόνως ἐν βίῳ ἐξήμαρτον·

Εὗρες ὀρεκτὸν, τὸ ἔσχατον πάνσοφε· εὗρες πηγὴν νοεράν, πάσης ἀγαθότητος· εὗρες τὸ ξύλον ζωῆς Θαλλέλαιε· εὗρες φῶς τὸ ἀνέσπερον τῆς τρισηλίου αὐγῆς· ἐν ᾧ τέρπου, ἀγάλλου καὶ χόρευε, καὶ ἡμῶν τῶν τιμώντων σε μέμνησο.

Χαίροις νῦν χαρὰν, τὴν ὄντως ἀΐδιον καὶ ἀννεκλάλητον, σὺν Μαρτύρων τάγμασι, καὶ Ἀναργύρων ἀγελαζόμενος, καὶ πρόσωπον πρὸς πρόσωπον, ὁρᾷς τὸν κτίστην σου, θεαρχίῳ δόξῃ, ἀστραπτόμενος καὶ μεθέξει θεούμενος ἔνδοξε·

Θεοτοκίον.

Οὐρανοῦ ἁγνὴ, ὕψος καὶ γῆς ἄπειρον βάθος τίς γνώσεται; οὕτως ἀειπάρθενε, ὕψος τὸ μέγα τοῦ μυστηρίου σου, πῶς νοῦς βραχὺς δυνήσεται καὶ περιπέζιος, ἐννοῆσαι; βάθος τε τὸ ἄπειρον, τῆς ἀσπόρου λοχείας σου ἄχραντε;

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Αθλήσεως τὸν στέφανον, ἀπείληφας Θαλλέλαιε· καὶ τῇ ἁγίᾳ Τριάδι, παρίστασαι ἀεννάως, θεώσεως πληρούμενος, καὶ τριφαοῦς λαμπρότητος· ἐν ᾗ ἡμῶν μνημόνευε, τῶν ἐκτελούντων τὴν θείαν, καὶ φωσφόρον σου ἄθλησιν.

Ὅμοιον.

Ανάργυρον κεκλήρωσαι, τὴν χάριν τῶν ἰάσεων, καὶ ἀναργύρως παρέχεις, τοῖς ἀναργύρως αἰτοῦσιν, ἀνάργυρον τὴν ἴασιν, τῆς ψυχῆς καὶ τοῦ σωματος, Θαλλέλαιε ἀνάργυρε, τῆς οἰκουμένης τὸ κλέος.

Καὶ τῆς Ἑορτῆς, εἰ τύχει.

Εἰδ᾽ οὖν, τὸ παρὸν Θεοτοκίον. ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῶν ὀρθοδόξων ἡ δόξα, καὶ βασιλέων τὸ νῖκος· ἐκκλησιῶν εὐπρέπεια, ταῖς Θαλλαίου πρεσβείαις, λύτρωσαι ἡμᾶς



ἅπαντας, ἐκ τῆς γεέννης Παρθένε, τοὺς ἐπὶ σοὶ πεποιθότας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ! καὶ ψάλλομεν τοῦ Ἁγίου Προσόμοια. Ἦχος πλ. δ!

Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς ἀθλητὰ Θαλλέλαιε, τῇ ἀγαπήσει Χριστοῦ ὁλοτρόπως πυρούμενος, χαίρων πρὸς τὴν ἄθλησιν, ὥσπερ λέων ἐχώρησας, καὶ τῶν τυράνων λύσας φρυάγματα, τὰς τῶν βασάνων πληγὰς ὑπήνεγκας, ὢ τῆς ἀνδρείας σου, καὶ τῆς καρτερίας σου! δι᾽ ἧς σαφῶς, χάριν κατεπλούτησας τῆς τῶν ἰάσεων.

Τίς σου κατ᾽ ἀξίαν Ἅγιε, τὴν τῶν θαυμάτων πληθὺν, ἐπαινέσαι δυνήσεται; καὶ τοῦ μαρτυρίου σου, τὰ ἀνδρεῖα παλαίσματα; εἰς ἃ ἐγκῦψαι, ποθοῦσιν Ἄγγελοι, καὶ ἀσθενοῦσιν, ὑμνῆσαι ἄνθρωποι· ὢ τῶν ἀγώνων σου, τῶν ὑπὲρ κατάληψιν! δι᾽ ὧν χοροῖς, ὄντως συνηρίθμησαι τῶν ἄνω τάξεων.

Χάριν ἰαμάτων ἄφθονον, παρὰ Χριστοῦ τοῦ Θεοῦ, εἰληφὼς, ὦ Θαλλέλαιε, ἐκδιώκεις πνεύματα θεραπεύεις νοσήματα· καὶ ἰατρεύεις πάθη ἀνίατα, τῶν προστρεχόντων τῇ θείᾳ σκέπῃ σου· ὅθεν τὴν μνήμην σου, ἐκτελοῦντες σήμερον περιχαρῶς, πόθῳ εὐφημοῦμέν σε καὶ μακαρίζομεν.

Αλλονται χωλοὶ, ὡς γέγραπται, προφητικῶς διὰ σοῦ· καὶ τυφλοὶ ἀναβλέπουσι· καὶ κωφοὶ ἀκούουσι· καὶ λεπροὶ καθαρίζονται· καὶ πονηρίας πνεύματα ἅπαντα, ἀποσοβοῦνται. τῇ ἐπικλήσει σου· ὢ τῆς δυνάμεως, καὶ τῆς θείας χάριτος, τῆς ὑπὲρ νοῦν! ἧσπερ κατηξίωσαι μάρτυς Θαλλέλαιε.

Δόξα, Ἦχος. πλ. δ!

Θαλλέλαιε μακάριε, τίς σε κατ᾽ ἀξίαν ἐπαινέσειε; ἐν γαρ τῇ ἀθλήσει σου μάρτυς, τύραννον ἤσχυνας· στρατιώτας κολάζοντας ἀορασίᾳ ἐπάταξας· ξύλον γὰρ ἀντὶ σοῦ τρυπήσαντες, ἔδοξαν σε τιμωρεῖν τὸν Θεόληπτον· εἰς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

βάθη θαλάσσης ἀπερρίφθης, κακεῖθεν θείᾳ χάριτι λευκοφόφος ἀνέδραμες· τὴν κάραν δέ σου ἀποτμηθείς, τῶν ἰαμάτων ἐκομίσω τὴν χάριν τὴν ἄφθονον· ἣν καὶ ἡμῖν ἐφαπλοῖς τοῖς τιμῶσί σε, καὶ αἰτουμένοις διὰ σοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν, τῆς ἑορτῆς. ἢ τὸ Δέσποινα πρόσδεξαι. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς χάριν εὐλαβείας ἐκ τῆς φωταγωγοῦ τοῦ ἁγίου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς ἑορτῆς εἰ τύχῃ, ᾠδὴ γ! καὶ ἐκ τοῦ ἁγίου ᾠδὴ στ! Εἰδ' οὐ τύχει τοῦ ἁγίου πάντα.

Ἀπόστολος Ἤ καὶ εὐαγγέλιον ζήτει τῶν ἁγίων Ἀναργύρων Νοεμ. α! Κοινωνικὸν Εἰς μνημόσυνον.

---

Τέλος
Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις.

---

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ·

Ψαλλόμενος παρὰ τοῦ Ἱερέως, ἐν τῷ ναῷ τοῦ Ἁγίου Μάρτυρος Θαλλελαίου τοῦ θαυματουργοῦ καὶ ἀναργύρου, εἰς πᾶσαν ἀνάγκην καὶ ἀσθένειαν. Ἔστι δὲ παλαιὸς ἐν χειρογράφοις μηναίοις σωζόμενος.

Μετὰ τὸ εὐλογητὸν τό, Κύριε, εἰσάκουσον. Εἶτα τὸ παρὸν τροπάριον.

Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τοῦ Θαλλελαίου τῷ ναῷ νῦν προσδράμωμεν, οἱ ἀσθενοῦντες καὶ εἰκόνι προσπέσωμεν, αὐτοῦ ἐκ κατανύξεως κραυγάζοντες ψυχῆς· ὦ Μάρτυς σπλαγχνίσθητι, ἐφ' ἡμῖν σοῖς ἱκέταις, πρόφθασον καὶ λύτρωσαι, τῆς παρούσης ἀνάγκης, μὴ παραβλέψας δέησιν οἰκτράν, τῶν προσφυγόντων τῇ σκέπῃ σου Ἅγιε.

Δόξα τὸ αὐτό· Καὶ νῦν. Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε. Ὁ Ν! Ψαλμός. Εἶτα ὁ Κανών· οὗ ἡ ἀκροστιχίς·
Βρύεις ἔλαιον θαυμάτων· Ἐν δὲ τοῖς Θεοτοκίοις.
Γεωργίου· Ἐν ἑκάστῳ δὲ τροπαρίῳ λέγεται τὸ Ἅγιε τοῦ Θεοῦ·

Ὠδὴ α! Ἦχος πλ. δ!
Ὑγρὰν διωδεύσας ὡσεὶ ξηράν·

Βαφεῖσαν πορφύραν ἀθλητικοῖς· αἵμασί σου Μάρτυς, Ἐκκλησία ἡ τοῦ Χριστοῦ, περιβεβλημένη ἐγκαυχᾶται, καὶ εἰς πρεσβείαν καλεῖσαι Θαλλέλαιε·

Ρώμην ἀπροσμάχητον ἐκ Θεοῦ, λαβὼν ἀθλοφόρε, μυριάσι ταῖς τῶν ἐχθρῶν, ἐπάλαισας μόνος ἐν ἀγῶνι, τῷ τῆς ἀθλήσεως Θαλλέλαιε·

Ὕλην ἀποθέμενος σαρκικὴν, καὶ τὴν τῶν ἀΰλων, πολιτείαν ἐπὶ τῆς γῆς, ἀνύων Ἀγγέλων, καὶ ταῖς τούτων χοροστασίαις συνηρίθμησαι·

Θεοτοκίον.

Γηγενεῖς τῷ τόκῳ σου ἀπὸ γῆς, πρὸς οὐρανοῦ ὕψος, ἐπανήχθημεν ἀληθῶς, Ἁγνὴ Θεοτόκε καὶ Ἀγγέλων, χοροστασίαις ἠριθμήθημε.

Ὠδὴ γ! Σὺ εἶ τὸ στερέωμα.

Ἔλαιον ἐλίπανε τὴν κεφαλὴν τὴν σὴν ἔνδοξε, τὸ τοῦ Χριστοῦ, διατοῦτο πλάνης, οὐ προσήκω τὸ ἔλαιον.

Ἴχσιν τὰ αἵματα. πᾶσι βροτοῖς τὰ σὰ ἔβλυσε, καὶ ἐκ τῆς γῆς λύθρα ἀσεβείας ἀπεκάθηρε ἔνδοξε.

Σάρκα καθηπέταξας, τῷ διὰ σὲ ὁμιλήσαντι· Μάρτυς σταυρῷ, καὶ ζωῆς ἀφθάρτου, ἠξιώθης μακάριε.

Θεοτοκίον.

Ἔλυσεν ὁ τόκος σου, ἁμαρτιῶν ἡμῶν ἄχραντε, τὰς ἐνοχὰς, καὶ δικαιοσύνῃ πιστοὺς πάντας συνέδησε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς πίστει σοι προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, ὡς ἄρρικτον τεῖχος ὦ Ἀθλοφόρε.

Ἐπίβλεψον ἐν εὐμενίᾳ πανύμνητε Θεοτόκε.

Ὠδὴ δ! Εἰσακήκοα Κύριε·

Λαμπρυνθέντα σε πρότερον, ἀρετῶν τῇ αἴγλῃ Χριστὸς ἐδέξατο, ἐν σταδίῳ τῆς ἀθλήσεως, ὥσπερ ἐν νυμφῶνι καὶ ἐδόξασεν.

Ἰατρεῖον σὲ δέδωκεν, ὁ δεσπότης πᾶσι πιστοῖς Θαλλέλαιε, καὶ ταῖς σαῖς θείαις ἐντεύξεσι, θεραπεύει πάθη τῶν ψυχῶν ἡμῶν·



Οἱ κρουνοὶ τῶν αἱμάτων σου, μύρα ἰαμάτων πᾶσι πηγάζουσι, καὶ ἐλαύνουσι Θαλλέλαιε, ἀηδίαν νόσων καὶ θλίψεων.

Θεοτοκίον.

Ὡς ἀκένωτον Δέσποινα, σὲ τῶν χαρισμάτων ταμεῖον ἔχοντες, τῶν θαυμάτων πορίζόμεθα, δωρεὰς ἀφθόνους ἐκ σοῦ Πάναγνε.

Ὠδὴ ε! Φώτισον ἡμᾶς.

Νέφη ἀλγεινῶν, καὶ βασάνων οὐκ ἐκάλυψαν, τὸ φαεινὸν τῆς καρτερίας σου· ἐξέλαμψας γὰρ ἀθλοφόρε ὑπὲρ ἥλιον.

Θάλλων νοητῶς, ἐν λιβάδῳ τῷ τῆς πίστεως, εὐωδίαν πᾶσαν ἔπνευσας, τοῦ μαρτυρίου, παναοίδιμε Θαλλέλαιε.

Ἅρματι σοφὲ, κεχρημένος τῆς ἀθλήσεως, ἀεροπόρος ἀναβέβηκας, πρὸς θεῖον ὕψος, τὸ τῆς χάριτος Θαλλέλαιε.

Θεοτοκίον·

Ῥύπον ἐμπαθῶν, λογισμῶν ἀποκαθάρασα, τὴν ψυχήν μου θεονύμφευτε, ταῖς πρεσβείαις, ἁγνόν με Θεῷ παράστησον·

Ὠδὴ στ! Ἱλάσθητί μοι σωτὴρ·

Λατρεύων ζῶντι Θεῷ, καὶ ποιητῇ πάσης κτίσεως, σεβάσματα βδελυκτὰ, ἀπώσω Θαλλέλαιε, διὸ σὲ ἐδόξασεν ὁ ἀγωνοθέτης, καὶ ἐν ἄθλοις καὶ ἐν θαύμασιν·

Ἐξέτεινας τοὺς βλαστοὺς, ὥσπερ ἐλαία κατάκαρπος, τῆς καρτερίας σοφὲ, εἰς ὕψος νοούμενον· διὸ καὶ ἀνέβλυσας ἔλαιον θαυμάτων, τοῖς πιστοῖς Μάρτυς Θαλλέλαιε·

Λαμπάδα τὴν ψυχὴν, ἐλαίῳ μάρτυς Θαλλέλαιε, τῶν ἀρετῶν νοητῶς, κοσμηθεῖσα ἔνδοξε, πυρὶ τῆς ἀθλήσεως διανῆψας ὅθεν, εἰς παστάδαν θείαν ἔφθασας·

Θεοτοκίον·

Γεγόναμεν οἱ θνητοί, ἀθάνατοι θείᾳ χάριτι, τῷ τόκῳ σου καὶ φθορᾶς, τῆς πρώην ἐρρύσθημεν, Θεοτόκε ἄχραντε, καὶ τῆς ἀφθαρσίας, τῇ στολῇ κατεκοσμήθημεν·

Διάσωσον ἀπὸ κινδύνων τοὺς πίστει σοι προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος ὦ ἀθλοφόρε·

Αχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Κάθισμα. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Πρεσβείαν τὴν σήν, ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦντες ἀεί, οἱ πίστει σοι προσφεύγοντες, ἐκτενῶς βοῶμέν σοι· ἀθλοφόρε Κυρίου πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τὸν πάντων δεσπότην ἱλεούμενος.

Προκείμενον. Θαυμαστὸς ὁ Θεός.

Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ἣ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ἡμῶν.



Δόξα· Ταῖς τοῦ Ἀθλοφόρου·

Καὶ νῦν Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεήμων Ἐλέησόν με, ὁ Θεὸς κατὰ τὸ μέγα.

Ἦχος πλ· β! Ὅλην ἀποθέμενοι·

Μὴ παρίδῃς δέησιν ὦ Ἀθλοφόρε Κυρίου τοῦ πιστοῦ ἱκέτου σου, ἀλλὰ πρήρου τὰ αἰτήματα· θλίψις γὰρ πάντοθεν, συμφορῶν ἕνεκεν, ἀμετρήτων περιέχει με· μὴ οὖν ἐάσῃς με, τῷ τῆς ἀθυμίας βαπτίζεθαι, κλύδωνι καὶ συνέχεσθαι, ἐν δυναῖς ἀεὶ περιστάσεσιν· ἀλλὰ σπεῦσον σῶσον, ἐκ πάσης τρικυμίας κακῶν, σαῖς εὐπροσδέκτοις δεήσεσιν. ὅπως μακαρίζω σε·

Ὠδὴ ζ! Οἱ ἐκ τῆς Ἰουδαίας·

Αναβὰς εἰς τὸ ὕψος, τῆς Χριστοῦ ἐκκλησίας μάρτυς Θαλλέλαιε, εἰδώλων ἐβδελύξω, τὴν χαμαίζηλον πλάνην· καὶ ἀπαύστως ἐκραύγαζες, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητρς εἶ·

Εξ ἀφθόνων ναμάτων, τῶν τοῦ πνεύματος χάριν ἀπαρυσάμενος, θαυμάτων τοῖς αἰτοῦσιν, ἀφθόνως ταῦτα πᾶσι, διανέμοις Θαλλέλαιε, ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Θαυμαστὸς ὡς ὑπάρχων, ἐν ἁγίοις σου πᾶσι μόνε φιλάνθρωπε, θαυμάστωσον οἰκτίρμων, πρεσβείαις Θαλλελαίου, τὸ σὸν πλούσιον ἔλεος, ἐν τοῖς ὑμνοῦσι Χριστὲ τὴν σὴν οἰκονομίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον·

Ἵνα πάντας ἑλκύσῃ, πρὸς οὐράνιον δόξαν ὁ ποιητὴς τοῦ παντός, ἐκ σοῦ Θεογεννῆτορ ηὐδόκησε τεχθῆναι καὶ ἡμῖν ὡς φιλάνθρωπος καὶ εὐεργέτης Θεὸς σαρκὶ ἀναστραφῆναι·

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον·

Ἀποβαλὼν τὴν ἄστατον σοφίαν Μάρτυς ἔνδοξε, τῶν ἐγκαυχομένων, ἑλλήνων ἐν πλάσμασι, τὴν γνῶσιν τὴν ἄπταιστον, καὶ λόγον τὸν ἀσάλευτον, τοῦ Δεσπότου πάντων καὶ Θεοῦ ἐπεσπάσω, βοῶν αὐτῷ ἀπαύστως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὑπεραρθεὶς Θαλλέλαιε, τῶν γηίνων τῷ πνεύματι, καὶ τὸν ποιητὴν καὶ λυτρωτὴν θεώμενος, νοὸς καθαρότητι, τὰ ἀλγεινὰ ὑπέμεινας, ἐναθλῶν γενναίᾳ, τῇ ψυχῇ ὑπὲρ τούτου, καὶ κράζων εὐλογεῖτε, ἱερεῖς τὸν Δεσπότην, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας·

Μαρτυρικοῖς τοῖς αἵμασι, στολὴν βάψας Θαλλέλαιε· ταύτην περιέθου, νοητῶς βασίλειον, ὡς κόσμον καὶ ἅπασι, τοῖς ἀθληταῖς καὶ μάρτυσιν, ἐν ἐπουρανίοις, ταῖς σκηναῖς συγχορεύεις, βοῶν ἀκαταπαύστως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον·

Ὁ ἐκ μὴ ὄντων ἅπαντα, συστησάμενος ῥήμασι, σάρκα ἀνθρωπίνην, ἀπὸ σοῦ ἀνέλαβε, ὁ μόνος ἀθάνατος, δι' εὐσπλαγχνίαν ἄχραντε, ἵνα ἀναπλάσῃ, ὡς Θεὸς εὐεργέτης, αὐτὴν ἀναβοῶσαν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.



Ἄνθεσι τοῖς τῶν ἀρετῶν, ἀθλοφόρε νοητὸν πλέξας στέφανον, τοῖς τῆς σῆς ἀθλήσεως, καθάπερ λίθοις τοῦτον ἐκόσμησας, καὶ ἐκαλώπισας τερπνοῖς, Θαλλέλαιε στίγμασιν· ὃν περικείμενος, εἰς οὐράνιον παστάδα ἐχώρησας.

Τέτρωται βέλει νοητῷ, καρτερίας ὁ τιτρώσκων τὸ σῶμά σου, ἐχθρὸς ἀρχέκακος, καὶ ἀσθενήσας εἰς γῆν κατέπεσε, σὺ δὲ ῥωννύμενος ψυχὴν πρὸς ὕψος Θαλλέλαιε, ἤρθης οὐράνιον, ἀνυμνῶν τὸν δυναμοῦντά σε Κύριον·

Νόησιν πᾶσαν γηγενῶν, αἱ τῶν ἄθλων ἀμοιβαί σου Θαλλέλαιε, ὑπερανέχουσαι, ὑπὲρ ἐλπίδας χάριτας βρύουσιν· αἷς καὶ ἡμᾶς τοὺς εὐσεβῶς, καὶ πιστῶς γεραίροντας, τὰ σὰ παλαίσματα, ἐκ καρδίας αἰτουμένους ἐπίσκεψαι·

Θεοτοκίον·

Ὕψωσον Δέσποινα ἁγνή, τῆς ψυχῆς μου τὸ χαμαίζηλον φρόνημα, πρὸς τὸν ὑπέρτατον, καὶ θεῖον πόθον τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ· ἵνα τῷ ἔρωτι αὐτοῦ, ἀεὶ πυρπολούμενος, καὶ ἀλλοιούμενος, πρὸς αὐτὸν δι' ἀρετῆς ἀναφέρωμαι.

Τό, Ἄξιόν ἐστιν·

Εἶτα τὰ παρόντα Μεγαλυνάρια·

Ἀναργύρων εὖχος περικαλλές, καὶ μαρτύρων μέγα, ἐγκαλλώπισμα καὶ πιστῶν, ἁπάντων προστάτα, Θαλλέλαιε τρισμάκαρ· τοὺς σὲ ὑμνολογοῦντας, κινδύνων λύτρωσαι.

Δίδου τὰς ἰάσεις πᾶσιν ὑμῖν, τῶν παθῶν καὶ νόσων, σαρκικῶν τε καὶ ψυχικῶν, Θαλλέλαιε μάρτυς, ὡς τῶν σῶν ἰαμάτων, παρὰ χειρὸς Κυρίου, χάριν δεξάμενος·

Ἕτερα συντεθέντα παρὰ τοῦ ἐκδότου· Δ. Δ·

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τὸν τοῦ Θεοδώρου, τὸ θράσος καθελόντα, καὶ τοῦ Χριστοῦ τὸ πάθος ἐκμιμησάμενον, Θαλλέλαιον τὸν μέγαν, πάντες δεξώμεθα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Λύτρωσαι σοὺς δούλους ἐκ τῶν δεινῶν, Μάρτυς ἀθλοφόρε, τῶν τοῦ σώματος καὶ ψυχῆς, καὶ ῥῦσαι κινδύνων ταῖς σαῖς πρεσβείαις μάκαρ, τοὺς πόθῳ σε καὶ πίστει ἀεί γεραίροντας·

Φύλαττε καὶ σκέπε τοὺς δούλους σου ἀθλητὰ, Μάρτυς ἀθλοφόρε, τους τιμῶντὰς σε εὐλαβῶς, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, Θαλλέλαιε τρισμάκαρ τῇ μεσιτείᾳ σου·

Πᾶσαι τῶν Ἀγγέλων· Τρισάγιον· Ἐλέησον ἡμᾶς Κύριε·

Καὶ τὰ λοιπὰ ὡς σύνηθες. Κατὰ δὲ τὸ τέλος ἐν τῇ προσκυνήσει τῆς ἱερὰς εἰκόνες τοῦ Ἁγίου· ψάλλεται τὸ παρὸν τροπά·

Πάντων προστατεύεις·

Πάντας τοὺς τὴν θείαν καὶ σεπτὴν, σοῦ ἀσπαζομένους εἰκόνα μάρτυς Θαλλέλαιε, πάσης περιστασέως ῥῦσαι πρεσβείαις σου, ἀλλοφύλων ἐφόδουτε, λοιμοῦ τε λιμοῦ τε σεισμοῦ καταπτώσεως, καὶ παντὸς ἄλλου κακοῦ· ὅπως εὐχαρίστοις ἐν ὕμνοις ὡς κοινὸν ἡμῶν εὐεργέτην, σὲ ἀκαταπαύστως μεγαλύνομεν·

ΤΕΛΟΣ